# ΜΙΚΡΟΝ ΕΥΧΟΛΟΓΙΟΝ

12

# Τάξις
# Δοξολογίας
# Ἐπὶ τῇ Ἐθνικῇ ἡμῶν Ἑορτῇ
# τῆς Ἐθνεγερσίας
# καὶ Παλιγγενεσίας
# τῇ ΚΕ′ Μαρτίου

Ἐκδόσεις
Ἱερᾶς Μητροπόλεως Ὠρωποῦ καὶ Φυλῆς
Φυλὴ Ἀττικῆς 2020

## ΜΙΚΡΟΝ ΕΥΧΟΛΟΓΙΟΝ

⑫

# Τάξις
## Δοξολογίας
## Ἐπὶ τῇ Ἐθνικῇ ἡμῶν Ἑορτῇ
## τῆς Ἐθνεγερσίας
## καὶ Παλιγγενεσίας
## τῇ ΚΕ′ Μαρτίου

## Περιεχόμενα

# Τάξις
## Δοξολογίας
## Ἐπὶ τῇ Ἐθνικῇ ἡμῶν Ἑορτῇ
## τῆς Ἐθνεγερσίας καὶ Παλιγγενεσίας
## τῇ ΚΕʹ Μαρτίου


● Εἴδησις ........................................ 5
Αʹ. Ἔναρξις - Ἀπολυτίκια .................... 6
Βʹ. Δοξολογία .................................. 7
Γʹ. Δεήσεις ...................................... 8
Δʹ. Εὐχαὶ Εὐχαριστήριοι ......................12
Εʹ. Δέησις Ἐπιμνημόσυνος .................. 18
Ϛʹ. Ἀπόλυσις .................................... 22



**Ἔκδοσις αʹ - 2020**


✠


© Ἱερὰ Μητρόπολις Ὠρωποῦ καὶ Φυλῆς


Φυλὴ Ἀττικῆς
Θρασυβούλου 88 (Δημοτικὴ Ἑνότης Φυλῆς),
Τ.Θ. 108, Τ.Κ. 133 51, ΦΥΛΗ - ΕΛΛΑΣ.
Ἀριθμ. Τηλεφ. Κλήσεως: 210 2487388
Τηλεαντίγραφα (Telefax): 210 2487389
E-mail: mitropolis-orfyl@hsir.org
Ἱστοσελίδα: www.hsir.org

# Τάξις
## Δοξολογίας
## Ἐπὶ τῇ Ἐθνικῇ ἡμῶν Ἑορτῇ τῆς Ἐθνεγερσίας καὶ Παλιγγενεσίας
## τῇ ΚΕʹ Μαρτίου

## Εἴδησις

Εὐτρεπίζεται ἐν τῷ μέσῳ τοῦ Σολέα τετραπόδιον καὶ τίθεται ἐπ᾽ αὐτοῦ ἡ ἱερὰ Εἰκὼν τοῦ Εὐαγγελισμοῦ τῆς Θεοτόκου, τὸ ἱερὸν Εὐαγγέλιον, δύο κηροπήγια μετὰ λαμπάδων ἐξ ἁγνοῦ κηρίου, σκεῦος πλῆρες κολλύβου, μικρά τις ἑλληνικὴ Σημαία, κλάδοι δάφνης, ἱσταμένων δὲ ἔνθεν καὶ ἔνθεν νεανιῶν καὶ νεανίδων, ἐνδεδυμένων ἐθνικὰς στολὰς καὶ βασταζόντων ἑλληνικὰς Σημαίας καὶ Λάβαρα.

Μετὰ τὴν Ἀπόλυσιν τῆς Θείας Λειτουργίας καὶ τοῦ καταληκτηρίου «Δι᾽ εὐχῶν», συνηγμένου ἔτι τοῦ Λαοῦ, ἄρχεται ἡ Ἀκολουθία, τοῦ τε Ἀρχιερέως, τῶν Ἱερέων καὶ τῶν Διακόνων εἰσέτι ἱεροφορούντων, ἱσταμένων δὲ πρὸ τοῦ τετραποδίου καὶ ἐστραμμένων πρὸς ἀνατολάς.

* * *

# Α΄. ΕΝΑΡΞΙΣ - ΑΠΟΛΥΤΙΚΙΑ

Ὁ Διάκονος·

**Ε**ὐλόγησον, Δέσποτα!

Ὁ Ἀρχιερεύς·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων!

Ὁ Λαός·

**Ἀ**μήν!

Ἀρχόμεθα εὐθὺς ψάλλειν τὰ ἑξῆς Τροπάρια·

Ὁ Λαός·

Ἀπολυτίκιον
τῆς Ὑψώσεως τοῦ Τιμίου Σταυροῦ.
Ἦχος α΄.

Σῶσον, Κύριε, τὸν Λαόν Σου, καὶ εὐλόγησον τὴν κληρονομίαν Σου, νίκας τοῖς Βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ Σὸν φυλάττων, διὰ τοῦ Σταυροῦ Σου πολίτευμα.

Ἀπολυτίκιον τῆς Ἑορτῆς.
Ἦχος δ΄.

Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ κεφάλαιον, καὶ τοῦ ἀπ᾽ αἰῶνος Μυστηρίου ἡ φανέρωσις· ὁ Υἱὸς τοῦ Θεοῦ, Υἱὸς τῆς Παρθένου γίνεται, καὶ Γαβριὴλ τὴν χάριν

εὐαγγελίζεται· διὸ καὶ ἡμεῖς σὺν αὐτῷ τῇ Θεοτόκῳ βοήσωμεν· Χαῖρε, Κεχαριτωμένη, ὁ Κύριος μετὰ Σοῦ.

Κοντάκιον τῆς Ἑορτῆς.
Ἦχος πλ. δ΄. Αὐτόμελον.

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια, ὡς λυτρωθεῖσα τῶν δεινῶν εὐχαριστήρια, ἀναγράφω Σοι ἡ Πόλις Σου, Θεοτόκε· ἀλλ᾽ ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον, ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον, ἵνα κράζω Σοι· Χαῖρε Νύμφη ἀνύμφευτε.

* * *

## Β΄. ΔΟΞΟΛΟΓΙΑ

Τοῦ Διακόνου προσφέροντος θυμίαμα εἰς ἅπαντα τὸν Ναόν, ψάλλονται Δοξολογικοὶ Στίχοι, ὡς ἐφ᾽ ἑξῆς.

Ὁ Λαός·
Δοξολογικοὶ Στίχοι.
Ἦχος βαρύς.

Δόξα Σοι τῷ δείξαντι τὸ φῶς, δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν Σε, εὐλογοῦμέν Σε, προσκυνοῦμέν Σε, δοξολογοῦμέν Σε, εὐχαριστοῦμέν Σοι, διὰ τὴν μεγάλην Σου δόξαν.

**Π**ρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

**Ε**ὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ Ὄνομά Σου εἰς τοὺς αἰῶνας. **Ἀ**μήν.

**Ε**ὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά Σου. (ἅπαξ)

**Π**αράτεινον τὸ ἔλεός Σου τοῖς γινώσκουσί Σε.

**Ἅ**γιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (ἅπαξ)

* * *

## Γ′. ΔΕΗΣΕΙΣ

Εἶτα αἱ ἑξῆς δεήσεις.

Ὁ Διάκονος·

**Ἐ**λέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Ὁ Λαός·

**Κ**ύριε, ἐλέησον. (γ΄)

Ὁ Διάκονος·

**Ἔ**τι δεόμεθα, ὑπὲρ τῶν εὐσεβῶν καὶ Ὀρθοδόξων Χριστιανῶν.

Ὁ Λαός·

**Κ**ύριε, ἐλέησον. (γ΄)

Ὁ Διάκονος·

Ἔτι δεόμεθα, ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος - τοῦ ἐπιχωρίου Ἀρχιερέως).

Ὁ Λαός·

Κύριε, ἐλέησον. (γ΄)

---

## Ἐν ταῖς Ἱεραῖς Μοναῖς

Ὁ Διάκονος·

● Ἔτι δεόμεθα, ὑπὲρ τοῦ Πατρὸς ἡμῶν (δεῖνος - τοῦ Ἡγουμένου) Ἱερομονάχου, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν Ἀδελφότητος.

Ὁ Λαός·

Κύριε, ἐλέησον. (γ΄)

Ὁ Διάκονος·

● Ἔτι δεόμεθα, ὑπὲρ τῆς Μητρὸς τῆς Ἱερᾶς Μονῆς ταύτης (δεῖνος - τῆς Ἡγουμένης) Μοναχῆς, καὶ πάσης τῆς ἐν Χριστῷ αὐτῆς Ἀδελφότητος.

Ὁ Λαός·

Κύριε, ἐλέησον. (γ΄)

---

Ὁ Διάκονος·

Ἔτι δεόμεθα, ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης Ἀρχῆς καὶ Ἐξουσίας ἐν Αὐτῷ, τοῦ κατὰ ξηράν, θάλασσαν καὶ

ἀέρα φιλοχρίστου ἡμῶν Στρατοῦ, καὶ ὑπὲρ τοῦ Κύριον τὸν Θεὸν ἡμῶν ἐπὶ πλέον συνεργῆσαι καὶ κατευοδῶσαι Αὐτοὺς ἐν πᾶσι.

Ὁ Λαός·

**Κ**ύριε, ἐλέησον. (γ΄)

Ὁ Διάκονος·

**Ἔ**τι δεόμεθα, ὑπὲρ μακαρίας μνήμης καὶ αἰωνίου ἀναπαύσεως, τῶν ψυχῶν πάντων τῶν πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ὑπὲρ τῆς Πίστεως καὶ τῆς Πατρίδος ἡμῶν, καὶ ἐν τῇ προασπίσει τῆς πεφιλημένης ἡμῖν Ἑλληνίδος Γῆς, εὐκλεῶς ἀγωνισαμένων καὶ ἡρωϊκῶς πεσόντων, ἢ μαχαίρᾳ καὶ ἀγχόνῃ ἀναιρεθέντων, ἢ ἐν αἰχμαλωσίᾳ καὶ ἐξορίᾳ καὶ πάσῃ κακουχίᾳ τελειωθέντων, πάλαι τε καὶ ἐπ᾿ ἐσχάτων, καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Ὁ Λαός·

**Α**ἰωνία ἡ μνήμη. (γ΄)

Ὁ Διάκονος·

**Ἔ**τι δεόμεθα, ὑπὲρ τοῦ διαφυλαχθῆναι [τὴν ἁγίαν Μονὴν ταύτην], τὴν πόλιν ταύτην, καὶ πᾶσαν πόλιν καὶ χώραν, ἀπὸ

ὀργῆς, λιμοῦ, λοιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, ἐμφυλίου πολέμου, καὶ αἰφνιδίου θανάτου·

**Ὑ**πὲρ τοῦ ἵλεων, εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι τὸν Ἀγαθὸν καὶ Φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι καὶ διασκεδάσαι πᾶσαν ὀργὴν καὶ νόσον τὴν καθ᾽ ἡμῶν κινουμένην, καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας Αὐτοῦ ἀπειλῆς, καὶ ἐλεῆσαι ἡμᾶς.

Ὁ Λαὸς ψάλλει χῦμα, πραείᾳ τῇ φωνῇ, μ΄, ἀνὰ ι΄ ἐναλλάξ, καὶ αὖθις γ΄ ἐναλλάξ·

**Κ**ύριε, ἐλέησον.

Ὁ Διάκονος·

**Ἔ**τι δεόμεθα, καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν ἡμῶν, φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ ἐλεῆσαι ἡμᾶς.

Ὁ Λαός·

**Κ**ύριε, ἐλέησον. (γ΄)

Ὁ Ἀρχιερεύς·

**Ἐ**πάκουσον ἡμῶν, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν· καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν, Δέσποτα, ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐλέησον ἡμᾶς·

Ἐλεήμων γὰρ καὶ Φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Λαός·

Ἀμήν!

* * *

## Δ΄. ΕΥΧΑΙ ΕΥΧΑΡΙΣΤΗΡΙΟΙ

Ὁ Διάκονος·

Τοῦ Κυρίου, δεηθῶμεν!

Ὁ Λαός·

Κύριε, ἐλέησον.

Ὁ Ἀρχιερεὺς κλινόμενος, ἐπεύχεται εἰς ἐπήκοον τοῦ Λαοῦ·

Ὁ Ἀρχιερεύς·

**Εὐχὴ τῷ Σωτῆρι ἡμῶν**

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὰ σύμπαντα τῷ Σῷ κράτει συνέχων, καὶ τῇ θείᾳ Σου καὶ πανσθενεῖ βουλῇ κυβερνῶν τὸν κόσμον·

Ὁ ποιήσας ἐξ ἑνὸς αἵματος πᾶν ἔθνος ἀνθρώπων κατοικεῖν ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς, ἑκάστῳ δὲ αὐτῶν ὁρίσας τὰς ὁροθεσίας τῆς κατοικίας αὐτῶν·

**Ὁ** καὶ τὸ εὐσεβὲς ἡμῶν Ἔθνος ἐξαιρέτως εὐεργετήσας, τὴν ἐπίγνωσιν τῆς Σῆς ἀληθείας αὐτῷ χαρισάμενος, πρὸς τὸ Φῶς τῆς Ὀρθοδόξου Πίστεως καθοδηγήσας, καὶ μεγάλους ἐξ αὐτοῦ τῇ Ἐκκλησίᾳ Πατέρας καὶ Διδασκάλους ἀναδείξας·

**Ἐ**λεύθερον μὲν Αὐτὸ ἐπὶ αἰῶνας διατηρήσας, δουλωθὲν δὲ στηρίξας καὶ διασώσας, καὶ εἰς ἐλεύθερον αὖθις βίον ἐξαναστήσας.

**Α**ὐτὸς πανάγιε Δέσποτα, ἐπὶ τῇ ἀπελευθερώσει καὶ παλιγγενεσίᾳ τοῦ ἡμετέρου Ἔθνους, τὰς εὐχαριστηρίους ἡμῶν ταύτας δέξαι προσευχάς, καὶ ἐπάκουσον ἡμῶν ἐν πίστει δεομένων Σου ἐκτενῶς.

**Τ**ὰς ψυχὰς τῶν ὑπὲρ τῆς Πίστεως καὶ τῆς Πατρίδος ἡμῶν εὐκλεῶς ἀγωνισαμένων καὶ ἡρωϊκῶς πεσόντων ἢ μαχαίρᾳ καὶ ἀγχόνῃ ἀναιρεθέντων ἢ ἐν αἰχμαλωσίᾳ καὶ κακουχίᾳ τελειωθέντων πατέρων καὶ ἀδελφῶν ἡμῶν μετὰ τῶν ἀπ᾿ αἰῶνός Σοι εὐαρεστησάντων ἀνάπαυσον.

**Ἡ**μᾶς δὲ πάντας, ὁ ὑπερασπιστὴς τῶν σωτηρίων ἡμῶν, ἀξίους τῆς ἐλευθερίας ἀνάδειξον, καὶ ἐν εἰρήνῃ διαφύλαξον·

**Π**ᾶσαν Ἀρχὴν καὶ Ἐξουσίαν ἐν τῷ Κράτει ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ διατήρησον, εὐστάθειαν τῇ Ἐκκλησίᾳ καὶ τῇ Πολιτείᾳ δωρούμενος.

Σὺ γὰρ εἶ ὁ ἄρχων τῆς εἰρήνης, καὶ σωτὴρ τῶν ψυχῶν ἡμῶν, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Λαός·

Ἀμήν!

Ὁ Διάκονος·

Τοῦ Κυρίου, δεηθῶμεν!

Ὁ Λαός·

Κύριε, ἐλέησον.

Ὁ Ἀρχιερεύς·

**Εὐχὴ ἑτέρα**
**τῇ Δεσποίνῃ ἡμῶν Θεοτόκῳ**

Δέσποινα τοῦ κόσμου, Μήτηρ τῆς Ζωῆς καὶ τοῦ Φωτός, Ὑπεραγία Θεοτόκε·

Σοὶ προσπίπτομεν κατὰ χρέος οἱ πιστοὶ καὶ ἐν εὐγνωμοσύνῃ βοῶμέν Σοι, ὅτι τῇ Σῇ πρεσβείᾳ καὶ τῇ Σῇ μεσιτείᾳ πρὸς τὸν Σὸν Υἱόν, ἐχαρίσω τῇ Πατρίδι ἡμῶν τὴν χάριν καὶ τὴν βοήθειάν Σου, καὶ ἐξαπέστειλας τὰ θαυμάσιά Σου τῷ Σῷ εὐσεβεῖ Λαῷ, διὰ τῆς Ὁλοφώτου Σκέπης τῆς δυναστείας Σου.

Τὰ μεγαλεῖα Σου, Παρθένε, τίς διηγήσεται; Βρύεις γὰρ θαύματα καὶ πηγάζεις ἰάματα πᾶσι τοῖς ἐπικαλουμένοις Σε, καὶ οὐδεὶς προστρέχων ἐπὶ Σοί, κατῃσχυμένος ἀπὸ Σοῦ ἐκπορεύεται, ἀλλ᾽ αἰτεῖται τὴν χάριν καὶ λαμβάνει τὸ δώρημα, πρὸς τὸ συμφέρον τῆς αἰτήσεως.

Ἐπὶ Σὲ οὖν τὰς ἐλπίδας ἡμῶν θέμενοι, πρὸς Σὲ καταφεύγομεν, Παναγία Παρθένε· Σὺ γὰρ ὑπάρχεις μεταβολὴ τῶν θλιβομένων, ἀπαλλαγὴ τῶν ἀσθενούντων, ἐλπὶς καὶ προστασία τῶν πιστῶν· οἴδαμεν γάρ, ὅτι πολὺ ἰσχύει δέησις Μητρὸς πρὸς εὐμένειαν Δεσπότου.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, Πανάμωμε Δέσποινα, καὶ μὴ παρίδῃς τὰς ἱκεσίας ἡμῶν, ἀλλὰ πρόσδεξαι τὰς εὐχαριστίας τῶν Σῶν τέκνων καὶ τὸν Σὸν Υἱὸν καὶ ἡμῶν Δεσπότην καὶ Κύριον, τῇ μητρικῇ Σου παρρησίᾳ χρωμένη, δυσώπησον, ἵνα ταῖς Σαῖς πρεσβείαις, φανῶμεν ἄξιοι τῆς ἐλευθερίας, καὶ ἀνοίξῃ ἡμῖν τὰ φιλάνθρωπα σπλάγχνα τῆς Αὐτοῦ Ἀγαθότητος, καὶ μὴ ἐγκαταλίπῃ ἡμᾶς καὶ τὴν Χώραν ἡμῶν εἰς τὰς ἐπιβουλὰς τῶν ἀλλοτρίων, χαρίσηται δὲ ἡμῖν καὶ τὴν ἐπουράνιον Αὐτοῦ Βασιλείαν.

Ὅτι Αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ Αὐτοῦ Πατρί, καὶ τῷ συνανάρχῳ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Λαός·

Ἀμήν!

* * *

Καὶ εὐθὺς ἄρχεται ἡ Ἐπιμνημόσυνος Δέησις, ὡς ἐν τοῖς ἑπομένοις, ψαλλομένων τῶν Τροπαρίων τοῦ Νεκρωσίμου Τρισαγίου, τοῦ δὲ Διακόνου προσφέροντος θυμίαμα.

* * *

## Ε΄. ΔΕΗΣΙΣ ΕΠΙΜΝΗΜΟΣΥΝΟΣ

Ὁ Λαός·
Ἦχος δ΄.

Μετὰ πνευμάτων δικαίων τετελειωμένων, τὰς ψυχὰς τῶν δούλων Σου, Σῶτερ ἀνάπαυσον, φυλάττων αὐτὰς εἰς τὴν μακαρίαν ζωήν, τὴν παρὰ Σοὶ Φιλάνθρωπε.

Ὁ Ἀναγνώστης·

Στίχ. Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς.

Ὁ Λαός·

Εἰς τὴν κατάπαυσίν Σου, Κύριε, ὅπου

πάντες οἱ ἅγιοί Σου ἀναπαύονται, ἀνάπαυσον, καὶ τὰς ψυχὰς τῶν δούλων Σου, ὅτι μόνος ὑπάρχεις ἀθάνατος.

Ὁ Ἀναγνώστης·

**Δ**όξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.

Ὁ Λαός·

**Σ**ὺ εἶ ὁ Θεὸς ἡμῶν, ὁ καταβὰς εἰς Ἅδην, καὶ τὰς ὀδύνας λύσας τῶν πεπεδημένων, Αὐτός, καὶ τὰς ψυχὰς τῶν δούλων Σου, Σῶτερ, ἀνάπαυσον.

Ὁ Ἀναγνώστης·

**Κ**αὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. **Ἀ**μήν.

Ὁ Λαός·

Θεοτοκίον

**Ἡ** μόνη ἁγνή, καὶ ἄχραντος Παρθένος, ἡ Θεὸν ἀσπόρως κυήσασα, πρέσβευε τοῦ σωθῆναι τὰς ψυχὰς τῶν δούλων Σου.

Καὶ ἡ ἐπιμνημόσυνος Μικρὰ Συναπτή.

Ὁ Διάκονος·

**Ἐ**λέησον ἡμᾶς ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Ὁ Λαός·

Κύριε, ἐλέησον. (γ΄)

Ὁ Διάκονος·

**Ἔ**τι δεόμεθα, ὑπὲρ μακαρίας μνήμης καὶ αἰωνίου ἀναπαύσεως, τῶν ψυχῶν πάντων τῶν Πατέρων καὶ Ἀδελφῶν ἡμῶν, τῶν ὑπὲρ τῆς Πίστεως καὶ τῆς Πατρίδος ἡμῶν, καὶ ἐν τῇ προασπίσει τῆς πεφιλημένης ἡμῖν Ἑλληνίδος Γῆς, εὐκλεῶς ἀγωνισαμένων καὶ ἡρωϊκῶς πεσόντων, ἢ μαχαίρᾳ καὶ ἀγχόνῃ ἀναιρεθέντων, ἢ ἐν αἰχμαλωσίᾳ καὶ ἐξορίᾳ καὶ πάσῃ κακουχίᾳ τελειωθέντων, πάλαι τε καὶ ἐπ᾽ ἐσχάτων, καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Ὁ Λαός·

**Κ**ύριε, ἐλέησον. (γ´)

Ὁ Διάκονος·

**Ὅ**πως Κύριος ὁ Θεὸς τάξῃ τὰς ψυχὰς αὐτῶν ἔνθα οἱ δίκαιοι ἀναπαύονται·

Ὁ Λαός·

**Κ**ύριε, ἐλέησον.

Ὁ Διάκονος·

**Τ**ὰ ἐλέη τοῦ Θεοῦ, τὴν Βασιλείαν τῶν Οὐρανῶν, καὶ ἄφεσιν τῶν αὐτῶν ἁμαρτιῶν, παρὰ Χριστῷ τῷ ἀθανάτῳ Βασιλεῖ καὶ Θεῷ ἡμῶν, αἰτησώμεθα.

Ὁ Λαός·

**Π**αράσχου, Κύριε.

Ὁ Διάκονος·

**Τ**οῦ Κυρίου δεηθῶμεν.

Ὁ Λαός·

**Κ**ύριε, ἐλέησον.

Ὁ Ἀρχιερεύς·

**Ὁ** Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός, ὁ τὸν θάνατον καταπατήσας τὸν δὲ διάβολον καταργήσας, καὶ ζωὴν τῷ κόσμῳ Σου δωρησάμενος·

**Α**ὐτὸς Κύριε, ἀνάπαυσον καὶ τὰς ψυχὰς τῶν κεκοιμημένων δούλων Σου, πάντων τῶν πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ὑπὲρ τῆς Πίστεως καὶ τῆς Πατρίδος ἡμῶν, καὶ ἐν τῇ προασπίσει τῆς πεφιλημένης ἡμῖν Ἑλληνίδος Γῆς, εὐκλεῶς ἀγωνισαμένων καὶ ἡρωϊκῶς πεσόντων, ἢ μαχαίρᾳ καὶ ἀγχόνῃ ἀναιρεθέντων, ἢ ἐν αἰχμαλωσίᾳ καὶ ἐξορίᾳ καὶ πάσῃ κακουχίᾳ τελειωθέντων, πάλαι τε καὶ ἐπ᾽ ἐσχάτων, ἐν τόπῳ φωτεινῷ, ἐν τόπῳ χλοερῷ, ἐν τόπῳ ἀναψύξεως, ἔνθα ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμός.

**Π**ᾶν ἁμάρτημα τὸ παρ᾽ αὐτῶν πραχθὲν ἐν λόγῳ, ἢ ἔργῳ, ἢ διανοίᾳ, ὡς Ἀγαθὸς

καὶ Φιλάνθρωπος Θεός, συγχώρησον· ὅτι οὐκ ἔστιν ἄνθρωπος, ὃς ζήσεται καὶ οὐχ ἁμαρτήσει·

Σὺ γὰρ μόνος, Κύριε, ἐκτὸς ἁμαρτίας ὑπάρχεις· ἡ δικαιοσύνη Σου δικαιοσύνη εἰς τὸν αἰῶνα καὶ ὁ λόγος Σου ἀλήθεια.

Ὁ Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Λαός·

Κύριε, ἐλέησον.

Ὁ Ἀρχιερεύς·

Ὅτι Σὺ εἶ ἡ ἀνάστασις, ἡ Ζωὴ καὶ ἡ ἀνάπαυσις τῶν κεκοιμημένων δούλων Σου, πάντων τῶν πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ὑπὲρ τῆς Πίστεως καὶ τῆς Πατρίδος ἡμῶν, καὶ ἐν τῇ προασπίσει τῆς πεφιλημένης ἡμῖν Ἑλληνίδος Γῆς, εὐκλεῶς ἀγωνισαμένων καὶ ἡρωϊκῶς πεσόντων, ἢ μαχαίρᾳ καὶ ἀγχόνῃ ἀναιρεθέντων, ἢ ἐν αἰχμαλωσίᾳ καὶ ἐξορίᾳ καὶ πάσῃ κακουχίᾳ τελειωθέντων, πάλαι τε καὶ ἐπ᾽ ἐσχάτων, Χριστέ, ὁ Θεὸς ἡμῶν καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ Σου Πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Λαός·

**Ἀ**μήν!

* * *

## ϛ΄. ΑΠΟΛΥΣΙΣ

Ὁ Ἀρχιερεύς, ἱστάμενος ἔτι ἐν τῷ αὐτῷ τόπῳ, ποιεῖ τὴν Ἀπόλυσιν, ἐκφωνῶν ἐμμελῶς·

Ὁ Ἀρχιερεύς·

**Δ**όξα Σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα Σοι!

Ὁ Ἀναγνώστης·

**Δ**όξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.
**Κ**αὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. **Ἀ**μήν.

**Κ**ύριε, ἐλέησον. (γ΄)

**Δ**έσποτα ἅγιε, εὐλόγησον.

Χῦμα, ταπεινῇ καὶ πραείᾳ τῇ φωνῇ, εἰς ἐπήκοον τοῦ Λαοῦ·

Ὁ Ἀρχιερεύς·

**Ὁ** καὶ νεκρῶν καὶ ζώντων τὴν ἐξουσίαν ἔχων, ὡς ἀθάνατος Βασιλεύς, καὶ ἀναστὰς ἐκ νεκρῶν Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν· **τ**αῖς πρεσβείαις τῆς Παναχράντου ἁγίας Αὐτοῦ Μητρός· **τ**ῶν

Ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· **τ**ῶν Ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν· **τ**ῶν Ἁγίων καὶ ἐνδόξων Προπατόρων Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακώβ· **τ**οῦ Ἁγίου καὶ δικαίου τετραημέρου φίλου Αὐτοῦ Λαζάρου· **κ**αὶ πάντων τῶν Ἁγίων·

**Τ**ὰς ψυχὰς τῶν ἐξ ἡμῶν μεταστάντων δούλων Αὐτοῦ, πάντων τῶν πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ὑπὲρ τῆς Πίστεως καὶ τῆς Πατρίδος ἡμῶν, καὶ ἐν τῇ προασπίσει τῆς πεφιλημένης ἡμῖν Ἑλληνίδος Γῆς, εὐκλεῶς ἀγωνισαμένων καὶ ἡρωϊκῶς πεσόντων, ἢ μαχαίρᾳ καὶ ἀγχόνῃ ἀναιρεθέντων, ἢ ἐν αἰχμαλωσίᾳ καὶ ἐξορίᾳ καὶ πάσῃ κακουχίᾳ τελειωθέντων, πάλαι τε καὶ ἐπ᾽ ἐσχάτων, ἐν σκηναῖς δικαίων τάξαι, ἐν κόλποις Ἀβραὰμ ἀναπαύσαι, καὶ μετὰ Ἁγίων καὶ Δικαίων συναριθμήσαι, καὶ ἡμᾶς ἐλεῆσαι καὶ σώσαι, ὡς ἀγαθὸς καὶ Φιλάνθρωπος.

Ὁ Λαός·

**Ἀ**μήν!

Ὁ Ἀρχιερεύς·

**Α**ἰωνία ἡ μνήμη, αἰωνία ἡ μνήμη, αἰωνία αὐτῶν ἡ μνήμη.

Ὁ Λαός·

**Α**ἰωνία ἡ μνήμη, αἰωνία ἡ μνήμη, αἰωνία αὐτῶν ἡ μνήμη. (δὶς)

## Ἀνάκρουσις τοῦ Ἐθνικοῦ Ὕμνου

Καὶ ἐκφωνεῖ ἐμμελῶς·

Ὁ Ἀρχιερεύς·

**Δ**ι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς.

Ὁ Λαός·

**Ἀ**μήν!



✠

**Δ**ιὰ τὴν σύνταξιν τῆς παρούσης Ἀκολουθίας:

**«Τάξις Δοξολογίας
Ἐπὶ τῇ Ἐθνικῇ ἡμῶν Ἑορτῇ
τῆς Ἐθνεγερσίας καὶ Παλιγγενεσίας
τῇ ΚΕ′ Μαρτίου»,**

ἐλήφθησαν ὑπ᾽ ὄψιν τὰ σχετικὰ Λειτουργικὰ Κείμενα τῆς Ὀρθοδόξου ἡμῶν Ἐκκλησίας, ὡς καὶ τὰ ἑξῆς ἔργα:

**α.** *Ἐπίσημοι Δοξολογίαι Μεγάλων Ἑορτῶν καὶ Ἐπετείων,* ἐκδ. «Α.Δ.Ε.Ε.», ἔκδοσις β΄, Ἀθῆναι 1999.

**β.** Μητροπολίτου Τίτου Ματθαιάκη, *Ἐγκόλπιον Εὐχολόγιον,* ἔκδοσις δ΄, Ἀθῆναι 2000.

✠

**Τῷ δὲ ἐν Τριάδι**
**Παναγίῳ καὶ Φιλανθρώπῳ Θεῷ ἡμῶν**
**δόξα, τιμή, προσκύνησις**
**καὶ εὐχαριστία.**
**᾿Αμήν!**

